Introducción al

Griego Clásico

Curso en vídeo

Textos complementarios para el método

ΑΘΗΝΑΖΕ

Ο ΠΥΓΜΑΛΙΩΝ

Ἀνὴρ δέ τις, ὀνόματι Πυγμαλίων, μεγάλα χρήματα, πολλοὺς φίλους, πολλοὺς δούλους εἶχεν. Γυναῖκας δέ, ἃς ὑπερηφάνους ἡγεῖτο, οὐδαμῶς ἠγάπα.

Ὁ δὲ Πυγμαλίων πολλὰ θαύματα ἐποίει, ἃ πολλοὶ ἄνθρωποι σφόδρα ἐθαύμαζον. Καθ'ἡμέραν δὲ κάλλιστα ἐκ μαρμάρου ἀγάλματα ἐποίει, ἃ οὐκ ἀγάλματα, ἀλλ'ἄνθρωποι ζῶντες ἐφαίνοντο.

Πολλάκις τοὺς πολίτας εἰς τὴν αὑτοῦ καπηλεῖον ἐκάλει, κάλλιστα ἐκεῖνα ἀγάλματα ἐπιδεικνύς· «ἔλθετε, ὦ ἄνδρες καὶ γυναῖκες» ἔφη, «κάλλιστα ἀγάλματα θεωρήσατε· θαυμάζετε τὰ μέλη, τὰς χεῖρας, τοὺς πόδας, τοὺς βραχίονας, τὰ σκέλη, τοὺς τραχήλους, τὰ πρόσωπα, ἃ τὴν τέχνην μου ὑμῖν δεικνύασιν· ἐγὼ γὰρ τὴν φύσιν αὐτὴν ἐμιμησάμην, ἣ ζῆν ἐν τοῖς ἀγάλμασί μου φαίνεται.»

ΛΕΞΙΚΟΝ

Πυγμαλίων -ίωνος ὁ

ἡγοῦμαι = *νομίζω*
ὑπερήφανος ον : *soberbio*

ἐπιδείκνυμι : *mostrar*
ἐπιδεικνύς : *μετοχ. ἐνεστ.*

βραχίων -ονος ὁ : *brazo*
σκέλος -ους τό : *pierna*
τράχηλος -ου ὁ : *cuello*

μιμοῦμαι (< έομαι) : *imitar*
ζῆν : *ἀπαρ. ἐνεστ.* ζῶ (< άω)

Ἄνδρες τε καὶ γυναῖκες εἰς τὸ τοῦ Πυγμαλίωνος καπηλεῖον προσερχόμενοι σφόδρα ἐπεθύμουν τὰ ἀγάλματα θεᾶσθαι, ὧν τὸ κάλλος παρῄνουν· «ὡς κάλλιστα ταῦτα ἀγάλματα ἐστίν, ὦ Πυγμαλίων» ἔφασαν, «τὴν γὰρ φύσιν οὐ μόνον ἐμιμήσω, ἀλλὰ καὶ περιεγένου.» πάντες ἐτέρποντο θεωροῦντες ἐκεῖνα τὰ ἀγάλματα, θαυμάσια παραδείγματα τῆς νεοτάτης τέχνης.

κάλλος -ους τό < *καλός*
παραινῶ (< έω) : *alabar*
παράδειγμα -τος τό : *ejemplo*

Τέλος δὲ ὁ Πυγμαλίων κάλλιστον κόρης ἄγαλμα ἐποίησεν, ᾗ χρυσᾶς τρίχας, κυανοῦς ὀφθαλμούς, ἐρυθρὰ χείλη εἶχεν.

]
θρίξ τρίχος ἡ : *cabello*
κυανοῦς -ῆ -οῦν : *azul celeste*
ἐρυθρός -ά -όν : *rojo*
χείλη τὰ: *labios*

Ὁ δὲ Πυγμαλίων, ἐπὶ πρῶτον τὸ ἄγαλμα ὁρᾷ, ἐρᾷ αὐτοῦ καὶ δυστυχέστατος ἐγένετο καὶ νυκτὶ κάκιστα ἐκάθευδεν· ἠγανάκτει γὰρ τῷ ἀγάλματι, ὃ ἀληθὴς καὶ κάλλιστη κόρη ἐφαίνετο, ἀλλ'οὔτε ἔζη οὔτε ἑαυτῷ, τὸν ἔρωτα αὐτοῦ ὁμολογοῦντι, ἀπεκρίνετο.

δυστυχής ές «-» *μακάριος*

	ζῶ - *παρατατικός*
ἔζων	ἐζῶμεν
ἔζης	ἐζῆτε
ἔζη	ἔζων

ὁμολογῶ : *confesar*

Καθ'ἡμέραν οὖν ὁ Πυγμαλίων, ὃς ἐπεθύμει τὴν κόρην ζῶσαν ὁρᾶν, τὰς χεῖρας πρὸς τὸν οὐρανὸν αἴρων, «ὦ ἄνασσα Ἀφροδίτη» ἔφη, «ἄκουέ μου εὐχομένου· δέχου τὴν θυσίαν καὶ ἵλεως ἴσθι ἐμοί· σὺ γὰρ ἵλεως οὖσα τῷ τε ἀγάλματι ζωὴν δός.»

δός : προστ. ἀόρ. δίδωμι : dar

Ἤλπιζεν γὰρ κλαίων τὴν τῆς Ἀφροδίτης ψυχὴν μαλακύνειν δύνασθαι· οὐδεὶς γὰρ πλὴν τῆς θεοῦ τῷ ἀγάλματι ζωὴν διδόναι ἠδύνατο.

μαλακύνω : *ablandar*
δύνασθαι *ἀπαρ. ἐνε.* δύναμαι

Ἔπει δὲ οἴκαδε ἐπανῆλθεν, εἰς τὸ ἐργαστήριον εἰσέβη ὅπου ἡ κάλλιστη τῆς κόρης εἰκὼν ἵστη, ἀλλ'οὐδὲν ἄγαλμα εἶδεν· ἐνόμιζεν οὖν ὅτι τίς αὐτὴν ἔκλεψεν, καὶ καθιμένος, ἐδάκρυσεν.

ἵστη : παρατ. de ἵστημι : estar de pie

Ἐξαίφνης δὲ γυνή τις ὑπερφυῶς εὐπρόσωπος καὶ θαυμαστὴ τὸ κάλλος πρὸς αὐτὸν ἐβάδισεν, ἣ χρυσέας τρίχας, κυανοῦς ὀφθαλμούς, ἐρυθρὰ χείλη εἶχεν. «Οὐκέτι ἄγαλμα» ἔφη, «ἀλλὰ γυνὴ ἀληθής εἰμι.»

Ὁ δὲ Πυγμαλίων ἐκάθαρε τὰ δάκρυα καὶ μακαριώτατος αὐτὴν κατεφίλησεν. Μετὰ δὲ ὀλίγον χρόνον τὴν κόρην ἐγάμησεν.

ὑπερφυής -ές : *desmesurado* (< ὑπέρ + φύσις)
εὐπρόσωπος = καλός

Ἄσκησις α'

1. Ὁ Πυγμαλίων πολλοὺς φίλους καὶ ________ εἶχεν.
2. Τὰ ἀγάλματα ἐκ μαρμάρου ζωντανοὶ ἄνθρωποι ________.
3. Ὁ Πυγμαλίων εἰς τὸ καπηλεῖον τοὺς πολίτας ________.
4. Πάντες πολῖται σφόδρα ________ τὰ ἔργα αὐτοῦ .
5. Ἡ κόρη χρυσᾶς τρίχας καὶ κυανοὺς ________ εἶχεν.
6. Τῇ Ἀφροδίτῃ θυσίαν ________ ὁ Πυγμαλίων.
7. Τῇ νυκτὶ ________ οὐκ ἐδύνατο ὁ τάλας.
8. Οὐκέτι ἄγαλμα, ἀλλὰ γυνὴ ________ ἐγένετο ἡ κόρη.
9. Τέλος τὴν κόρην κατεφίλησεν καὶ ______.

ἀληθής -ές
γαμῶ
δοῦλος
θαυμάζω
καθεύδω
καλῶ
ὀφθαλμός
ποιῶ
φαίνομαι

Ἄσκησις β'

1. Ὁ Πυγμαλίων πάσην γυναίκα __________ ἡγεῖτο.
2. Χεὶρ καὶ ποῦς, βραχίων καὶ _______, τὰ ἀνθρώπινα μέλη ἐστίν.
3. Ὁ μὲν ________ ὑπὸ τῇ κεφαλῇ ἐστιν.
4. Ἡ τοῦ Πυγμαλίωνος τέχνη τὴν φύσιν ________.
5. Ἄνδρες καὶ γυναῖκες ________ τὸ κάλλος τῶν ἀγαλμάτων.
6. Τὰ χείλη τῆς κόρης ἦν ________.
7. Ὁ Πυγμαλίων οὐκ ἐδύνατο τὴν κόρην φιλεῖν, ὥστε ______ ἦν.
8. Τοῖς δάκρυσιν ἤλπιζεν τὴν τῆς Ἀφροδίτης ψυχὴν ________.
9. Τέλος τὸ ἄγαλμα γυνὴ ὑπερφυῶς ________ ἐγένετο.

δυστυχής -ές
ἐρυθρός -ά -όν
εὐπρόσωπος -ον
μαλακύνω
μιμοῦμαι
παραινῶ
τὸ σκέλος
ὁ τράχηλος
ὑπερήφανος -ον

Η ΕΥΡΩΠΗ

Ἡ δὲ Εὐρώπη ἀγαθή τε καὶ καλὴ παρθένος ἦν, ἥ, μετὰ τῶν ἄλλων κορῶν, ἔπαιζεν, ἔτρεχεν, τὴν σφαῖραν ἔρριπτεν, καὶ ἐν τῷ ἀγρῷ ἄνθη συλλέγουσα ἐτέρπετο.

Ἐξαίφνης μέγας τε καὶ λευκὸς ταῦρος νέων ἦλθεν εἰς τὸν αἰγιαλὸν, ὅν ὡς πρῶτον αἱ τῆς Εὐρώπης φίλαι εἶδον, βοῶσαι ἔφυγον.

Ὁ μὲν ταῦρος οὐ δεινὸς ἐφαίνετο εἶναι· ἡ δὲ Εὐρώπη οὐδαμῶς ἐφοβεῖτο καὶ τὸ θηρίον ἐγγύθεν ἰδεῖν ἐπιθυμοῦσα, πρὸς αὐτὸ προσελθοῦσα τῇ χειρὶ ἥψατο.

Ὁ μὲν ταῦρος ἐβρυχήσατο, ἡ δὲ Εὐρώπη τὰ χόρτα ἐκ τοῦ ἀγροῦ συλλεξαμένη τῷ ταύρῳ ἔδωκεν, ὃς τρώγων ἐτέρπετο.

Ἔπειτα δὲ ἡ Εὐρώπη, τολμηροτέρα γενομένη, τὸ τοῦ ταύρου πλευρὸν ἐθεᾶτο καὶ τῇ χειρὶ ἥψατο. Τέλος δὲ ἐπὶ τὸν νῶτον αὐτοῦ ἀναβᾶσα ἐκάθισεν καὶ «ὦ φίλαι,» ἔφη, «ἔλθετε καὶ ἐμὲ θεάσασθε· ἴδετε με ἐπὶ τῷ τοῦ ταύρου νώτῳ καθημένην.»

Εὐθὺς δὲ ὁ ταῦρος, ὃς χαμαὶ ἐκάθιζεν, ἀνέστη καὶ πρὸς τὸν ὠκεανὸν τρέχειν ἤρξατο.

ΛΕΞΙΚΟΝ

ἐγγύθεν = *ἀπὸ ἐγγύς*

ἅπτω : *tocar*

ἔδωκεν *ἀόρ. δίδωμι*

τολμηρός ά όν : *audaz*

τὸ πλευρόν : *costado*

τὸ νῶτον : *lomo*

Μέγας φόβος τὴν τάλαιναν Εὐρώπην κατέλαβεν· τὰς δὲ φίλας βοώσας τε καὶ δακρυούσας καὶ πρὸς τὴν ἀκτὴν τρεχούσας ἐκάλει, βοήθειαν ζητοῦσα, ἀλλ'αὐταὶ οὐκ ἔφθασαν τὴν Εὐρώπην, ἣ ἐπὶ τῷ τοῦ ταύρου νώτῳ φερομένη ἦν· ὁ γὰρ ταῦρος τὴν κόρην καταλαβών, πρὸς τὸν ὠκεανὸν ἀνέστρεψεν καὶ εἰς τὰ τοῦ πελάγους κύματα εἰσελθὼν ἔνευσεν.

ἀκτή -ῆς ἡ : *costa*

φθάνω : *alcanzar*

πέλαγος -ου ὁ : *alta mar*

Μετὰ δὲ ταῦτα, ἐπειδὴ εἰς τῆς θαλάττης τὸ βάθος ἀφίκοντο, «οὐ ταῦρος,» ἔφη, «ἀλλ'ὁ Ζεύς εἰμι, ὁ τῶν θεῶν τε καὶ τῶν ἀνθρώπων πατήρ. μὴ φοβοῦ· οὐ γάρ εἰμι κακός, οὐδὲ σοὶ βούλομαι κακὸν ποιῆσαι. οὐ βούλομαι σε βλάπτειν, ἀλλὰ σε γαμεῖν.»

τὸ βάθος -ους : *fondo*

βλάπτω : *dañar*

Τὴν δὲ Εὐρώπην, ἣ τὸ πρῶτον μέγα ἐφοβεῖτο, ὁ φόβος ἀπέλιπεν καὶ οὐκέτι ἐδάκρυζεν. Μετ'οὐ πολὺν χρόνον εἰς νέαν γῆν ἀφίκοντο, ὅπου ὁ ταῦρος, τὴν κόρην καταλιπών, εἰς τὴν θείαν αὐτοῦ μορφὴν μετέβαλεν.

ἀπο-λείπω

Μετὰ δὲ ὀλίγον χρόνον ὁ Ζεύς τὴν Εὐρώπην ἐγάμησε καὶ τὴν γῆν ἐκείνην, εἰς ἣν μετ' αὐτῆς ἀφίκετο, Εὐρώπην ὠνόμασεν.

Ἄσκησις

1. Ἡ Εὐρώπη, ______ κάλλιστη, μετὰ τῶν ἄλλων κορῶν ἔπαιζεν.
2. Ταῦρος ________ εἰς τὸν αἰγιαλὸν ἦλθεν.
3. Ἡ Εὐρώπη, ________ οὖσα, τὸν ταῦρον οὐκ ἐφοβεῖτο.
4. Τὸ τοῦ ταύρου ________ ἐθεᾶτο καὶ μάλιστα ἐζαύμαζεν.
5. Ἡ κόρη τὸ θηρίον ________ ἰδεῖν ἐπεθύμει.
6. Πρὸς τὸν ταῦρον προσελθοῦσα τῇ χειρὶ ________.
7. Τέλος δὲ ἐπὶ τὸν ________ αὐτοῦ ἀναβᾶσα ἐκάθισεν.
8. Ἡ κόρη ________ ζητοῦσα τὰς φίλας ἐκάλει.
9. Ὁ Ζεύς μετεβάλετο εἰς τὴν θείαν ________.

ἅπτω
ἐγγύθεν
ἡ βοήθεια
ἡ μορφή
ἡ παρθένος
λευκός -ή -όν
τὸ νῶτον
τὸ πλευρόν
τολμηρός -ά -όν

Ο ΜΙΝΩΣ

Ὁ δὲ Μίνως τὴν Κρήτην ἐβασίλευεν. Ἐκεῖ μέγαν καὶ καλὸν βασίλειον, πολλοὺς δούλους, μεγάλα χρήματα εἶχεν· Οὕτως ὑπερήφανος ἐγένετο ὡς τοὺς θεοὺς πάντας αὐτῷ ἐπιμελεῖσθαι ἐνόμιζεν καὶ ἑαυτὸν παρ'αὐτῶν πάντα αἰτεῖν δύνασθαι. «Ἐμὲ πρὸ τῶν ἄλλων θνητῶν μακαριώτατον εἶναι νομίζω· οἱ θεοὶ δὲ μάλα ἐμὲ φιλοῦσιν» εἶπεν, «εἰ γὰρ παρὰ τῶν θεῶν δῶρον τι αἰτῶ, εὐθὺς πρὸς ἐμὲ πέμπουσιν.»

Ὁ οὖν βασιλεὺς ἐξῆλθεν περιπατεῖν πρὸς τὴν ἀκτὴν τῆς θαλάττης· ἐκεῖ δὲ τὸν Ποσειδῶνα τοιούτοις λόγοις ἱκέτευσεν· «ὦ Πόσειδον, δέομαι σοῦ ὡς κάλλιστον ταῦρον πρὸς τὴν νῆσον μου πέμψῃς, ὃν σοί, πάντων τῶν θαλάττων θεῷ, ὃς μεγάλα κύματα ἐγείρεις καὶ τοὺς χειμῶνας, θύσω.»

Ὁ Ποσειδῶν ἐκ τοῦ τῆς θαλάττης βάθους αὐτοῦ δεομένου ἤκουσε καὶ κάλλιστον μέγαν ταῦρον πρὸς τὴν νῆσον ἔπεμψεν, ὃν θῦσαι ἐκέλευσεν.

ΛΕΞΙΚΟΝ

ἐπιμελοῦμαι = *θεραπεύω*

ἐμὲ = με *!*

δέομαι = αἰτῶ (< έω)

ὡς… πέμψῃς: que me envíes

τὸ βάθος -ους = *fondo*

Ὁ δὲ Μίνως, πρὸς τὸν ταῦρον ἐλθών, αὐτὸν μεγάλῃ σπουδῇ ἐθεάσατο· ἐπειδὴ δὲ εἶδεν τὸν ταῦρον κάλλιστον εἶναι, οὐκ ἤθελεν τὸ ὡραῖον θηρίον Ποσειδῶνι θῦσαι· εἰς σταθμόν τινα τὸ ζῷον κρύψαι ἐκέλευσεν καὶ ἕτερον ταῦρον ἀντὶ αὐτοῦ πρὸς τὸν αἰγιαλὸν ἄγειν· «ὦ δοῦλοι» εἶπεν, «ὑμῖν κελεύω ταῦρον ἔλαττον καλὸν ἐκ τῶν σταθμῶν μου λαβεῖν· σπεύσατε δὲ καὶ διαλέξασθε ἕτερον ταῦρον, τὸ χρῶμα ὁμοιότατον τούτῳ, ὃν ὁ Ποσειδῶν ἔπεμψεν.»

ἡ σπουδή < σπεύδω

ὁ σταθμός : *establo, albergue*

Μόλις ταῦτα εἶπεν ὁ βασιλεύς, οἱ δοῦλοι, οἳ τὸν αὐστηρὸν καὶ ὑπερήφανον Μίνω ἐφοβοῦντο, ὡς τάχιστα ἐδύναντο ὑπήκουσαν· πρὸς τοὺς σταθμοὺς ἔδραμον ὅθεν ἕτερον ταῦρον εἰς τὸν λιμένα εἰσήγαγον. μετὰ τὴν θυσίαν, ὁ Μίνως τοὺς δούλους ἐκέλευσε τὸν ἱερὸν ταῦρον, ὃν ὁ Ποσειδῶν ἔπεμψεν, πάλιν πρὸς τὸν σταθμὸν ἄγειν καὶ τὰς θύρας κλεῖσαι· «νῦν μεγάλῃ σπουδῇ κρύψατε καλῶς τοῦτο τὸ ζῷον.» Εἶτα ὁ βασιλεὺς, μακάριος τοιούτῳ καλῷ θηρίῳ γενόμενος, πρὸς τὸ βασίλειον ἀνέστρεψεν.

ὑπακούω : *obedecer*

πάλιν = αὖθις

Ὁ Ποσειδῶν μέντοι πάντα εὐκόλως ἔμαθεν. ἠγανάκτησε δὲ καὶ ἐκ τοῦ βάθους τῆς θαλάττης ἀνέστη· πρὸς τοὺς τοῦ βασιλείου σταθμοὺς ἔδραμεν, καί, τὰς θύρας ἀνοίξας, τὸν ἑαυτοῦ ταῦρον ἐν τοῖς σταθμοῖς κλεισμένον ηὗρεν. «Ὦ πονηρὲ Μίνως» ἐβόησεν, «τὸν Ποσειδῶνα ψεύδεσθαι ἠθέλησας. Ἐμὲ, ὃς κάλλιστον ἐκεῖνον ταῦρον δῶρον σοι ἤνεγκον. Νῦν δὲ τοῦτο πρᾶον ζῷον, εἰς ἄγριον τέρας μεταβαλῶ.»

μέντοι = ὅμως

πρᾶος πραεῖα πρᾶον «-» *ἄγριος*

μεταβάλλω = *cambiar*

Ταῦτα ἔφη, καὶ τὸν ἀγριώτατον ταῦρον ἐκ τῶν σταθμῶν ἐξήνεγκεν· ὅς, ἐπὶ τοὺς ἀνθρώπους προσβαλών, τοῖς κέρασι πολλοὺς ἄνδρας, πολλὰς γυναῖκας δεινῷ θανάτῳ ἀπέκτεινεν.

Οἱ τῆς Κρήτης κάτοικοι τὸν ταῦρον ἔνθα καὶ ἔνθα τρέχοντα λαβεῖν οὐκ ἐδύναντο· οὔτε ἐκ τοιούτου κινδύνου ἐλεύθεροι γίγνεσθαι, ἕως αὐτὸς ὁ Ἡρακλῆς, ὃς εἰς τὴν Κρήτην ἦλθεν, τοῦτο τὸ ἀγριώτατον θηρίον τέλος κατέλαβε καὶ ἀπέκτεινεν.

Ἄσκησις α'

1. Ὁ Μίνως ἐν τῇ Κρήτῃ ________.
2. Ἐν τῷ βασιλείῳ πολλοὺς ________ εἶχεν.
3. Ὁ Ποσειδῶν ταῦρον μέγαν καὶ ________ πέμπει.
4. Ὁ βασιλεὺς ὑπερήφανος καὶ αὐστηρὸς ________.
5. Ὁ βασιλεὺς τοὺς δούλους ἐκέλευσε τὸν ταῦρον ________.
6. Ὁ ταῦρος τοὺς ἀνθρώπους τοῖς κέρασιν ________.
7. Οἱ κάτοικοι τῆς νήσου τὸν ταῦρον λαβεῖν οὐκ ________.
8. Ὁ Ἡρακλῆς εἰς τὴν Κρήτην ______ καὶ τὸ θηρίον ἀπέκτεινεν.
9. Οἱ θεοὶ ἐκ τῶν οὐρανῶν δῶρα τοῖς ἀνθρώποις ________.

ἀποκτείνω
βασιλεύω
γίγνομαι
δύναμαι
ὁ δοῦλος
ἔρχομαι
κάλλιστον
κρύπτω
πέμπω

Ἄσκησις β'

1. Ὁ Μίνως· «πάντες οἱ θεοὶ ἐμὲ ἀγαπῶσι καὶ ________.»
2. Ὁ Μίνως· «ὦ Πόσειδον, ________ σοῦ ὡς ταῦρον μου πέμψῃς.»
3. Ὁ Ποσειδῶν ἐκ τῆς θαλάττης ________ ἀνέστη.
4. Ὁ Μίνως τὸν ταῦρον μεγάλῃ ________ ἐθεάσατο.
5. Τοὺς δούλους εἰς ________ τὸ ζῷον κρύψαι ἐκέλευσεν.
6. Οἱ δοῦλοι ὡς τάχιστα ἐδύναντο τοῦ βασιλέως ________.
7. Οἱ δοῦλοι ________ τὰς θύρας ἔκλεισαν.
8. Πρῶτον ὁ ταῦρος μάλα ________ ἦν.
9. Ἔπειτα ὁ Ποσειδῶν τὸ ζῷον, εἰς ἄγριον τέρας ________.

τὸ βάθος
δέομαι
ἐπιμελοῦμαι
μεταβάλλω
πάλιν
πρᾶος πραεῖα πρᾶον
ἡ σπουδή
ὁ σταθμός
ὑπακούω

Ο ΟΡΦΕΥΣ ΚΑΙ Η ΕΥΡΥΔΙΚΗ

Ὀρφεὺς ποιητὴς ἦν μέγιστος καὶ φιλτάτος ταῖς Μούσαις. Ὅτε παῖς ἦν, μάλα καλῶς ᾖδεν. Διὰ τοῦτο καὶ τὰ θηρία καὶ οἱ ἄνθρωποι προσεχώρουν πρός αὐτόν. Καὶ, ὥσπερ λέγουσιν, τὰ μὲν ὕδατα ἡσύχαζεν, τὰ δὲ δένδρα καὶ οἱ λίθοι ἐβάδιζον καὶ ἐχόρευον πρὸς αὐτόν.

Ὁ δὲ ποιητὴς τὴν Εὐρυδίκην ἠγάπα, κόρην μάλα καλήν. Ἡ δὲ παρθένος, ὅμως, μετ'αὐτοῦ λαλεῖν οὐκ ἤθελεν. Ὁ δὲ Ὀρφεύς, ἀεὶ περὶ τῆς κόρης κάλλιστα μέλη ᾖδεν. Τέλος δὲ αὐτὴ τὸν Ὀρφέα ἠγάπησεν, καὶ ἡ τοῦ γάμου ἡμέρα ἐγένετο. Πάντες ἔλεγον· «ἀληθῶς εὐδαίμονές εἰσιν.»

Ἦν δὲ αὐτουργὸς τις, ὀνόματι Ἀρισταῖος, ὃς μάλιστα ἐβούλετο τὴν Εὐρυδίκην γαμεῖν.

Ποτε δὲ ἡ κόρη μόνη ἐν τοῖς ἀγροῖς ἐβάδιζεν· ὁ δὲ Ἀρισταῖος κρύψας ἑαυτὸν ὑπὸ δένδρῳ τινί, πρὸς τὴν κόρην ἔτρεχε καὶ ἐδίωκεν.

Ἡ δὲ Εὐρυδίκη μάλα ἐφοβεῖτο καὶ εὐθὺς ἔφυγεν· ταχέως δὲ ἔτρεχεν διὰ φυλλῶν καὶ δένδρων· ἤδη γὰρ ἥκει πρὸς τὸν ἄνδρα. Ὡς δὲ αὐτόν βλέπει, μέγα βοᾷ· «βοήθει, ὦ φίλε ἄνερ.»

ΛΕΞΙΚΟΝ

ὅτε : *cuando*
θηρίον οῦ τό : *bestia*
ἡσυχάζω : *aquietarse*
βαδίζω : *caminar*
χορεύω : *bailar*
γάμος ὁ < γαμῶ
πότε; *¿cuándo?*
ποτε : *en cierta ocasión*
κρύπτω : *ocultar*
εὐθύς : *inmediatamente*
φύλλον τό : *hoja*

Ἀλλ'ἦν ἔχιδνα τις ἐν τοῖς φύλλοις, θυρίον μάλα κακὸν καὶ δεινόν, ἣ ἔδακεν τὸν τῆς ταλαίνης κόρης πόδα, ἣ ἔπεσεν καὶ ἀπέθανεν.

Ὁ τάλας Ὀρφεὺς μάλιστα στενάζει καὶ λέγει· «Τί ἔτι ζῶ; Πῶς ἄνευ τῆς φίλης γυναικὸς ζήσω;»

Πολλὰς ἡμέρας καὶ νύκτας οὔτε ἔφαγεν οὔτε ἔπινεν. Συνεχῶς ἔκλαιε καὶ μάλιστα ᾤκτειρεν.

Τέλος δὲ εἶπε πρὸς ἑαυτόν· «τί μὴ καταβαίνω εἰς τὸν τοῦ Ἅδου βασίλειον καὶ λέγω τῷ νεκρῶν βασιλεῖ· δός μοι πάλιν τὴν γυναῖκα;»

Οὕτως σπεύδει πρὸς τοῖς ὑπὸ γῆς τόποις, ὅπου οἰκοῦσιν ὁ βασιλεὺς καὶ ἡ βασίλεια τῶν νεκρῶν.

Ὁ δὲ Ὀρφεὺς εἰς τὸν Ἅδην κατέβαινε καὶ «δός μοι τὴν γυναῖκα» ἔφη «ἵνα ζῶ αὖθις μετ'αὐτῆς.»

Ὁ δὲ βασιλεὺς καὶ ἡ βασίλεια οὐκ ἤθελον πείθεσθαι, ἀλλ'ὁ ποιητὴς οὕτως ἄριστα ᾖδεν ὥστε πᾶσαι αἱ τῶν νεκρῶν ψυχαὶ ἐσίγων καὶ ἤκουον. Τέλος δὲ ὁ Ἅδης καὶ ἡ Περσεφόνη συγκινοῦνται, καὶ ἐκέλευσαν τῷ ποιητῇ· «νῦν δὲ λαβὲ τὴν σὴν γυναῖκα, ἀλλὰ μή ποτε βλέπε αὐτὴν ἕως ἥκῃς εἰς τὸ φῶς τῆς ἡμέρας.»

Ὁ δὲ Ὀρφεὺς ἔχαιρεν καὶ ἀνέδραμεν εἰς τὴν γῆν. Ἡ μὲν Εὐρυδίκη βραδέως ἕπεται, ὁ δὲ ποιητὴς αὐτῆς οὐκ ἀκούει, καὶ λέγει πρὸς ἑαυτόν· «ἆρ'ἔρχεται ἡ γυνή;»

Καὶ ἀναστρέφεται καὶ ὄπισθεν βλέπει. Ἡ δὲ Εὐρυδίκη· «τί ποιεῖς,» ἔφη «ὦ φίλ'ἄνερ; νῦν δὲ ἐν τῷ σκότῳ εἰς ἀεὶ ἔσομαι.» Καὶ ὥσπερ σκιᾶς ὄναρ ἔφυγεν.

ἔχιδνα -ης ἡ : *vívora*
τάλας ταλαίνα αν : *desdichado*
δάκνω : *morder*
ἄνευ + *gen.* : *sin*
ζήσω : *viviré (futuro de ζῶ)*
συνεχῶς : *continuamente*
κλαίω : *llorar*
οἰκτείρω : *lamentarse*
πάλιν : *de nuevo*
ἵνα : *para que*
αὖθις = *πάλιν*
συγκινοῦμαι : *emocionarse*
ἕως : *hasta que*
ἕπομαι = *ἀκολουθῶ*
εἰς ἀεί : *para siempre*
ἔσομαι : *fut. de εἰμι : seré, estaré*
σκιᾶς : *sombra*
ὄναρ : *sueño*

Μέγα βοᾷ ὁ ποιητὴς καὶ εἰς τὸ δάσος ἔδραμεν καὶ μετὰ τῶν θηρίων ἔμενεν. Πάσας τὰς γυναῖκας ἐμίσει. Μόνον τὴν Εὐρυδίκην ἐπεθύμει.

Πάλιν γυναῖκα γαμεῖν οὐκ ἐβούλετο. Αἱ δὲ τῆς χώρας γυναῖκες μάλιστα αὐτῷ ἀγανακτοῦσι καὶ ἁρπάζουσι καὶ τύπτουσιν ἕως θανάτου τὸν ποιητήν, καὶ καταβάλλουσι τὰ μέλη καὶ τὴν κεφαλὴν εἰς τὴν θάλατταν.

Ἡ δὲ κεφαλὴ εἰς νῆσον τινὰ προσῆλθεν, ὀνόματι Λέσβος.

ἀγανακτῶ : *enfadarse*
ἁρπάζω : *arrebatar, raptar*
τύπτω : *golpear*

μέλος ους τό : *extremidad*

Ἄσκησις α'

1. Ὁ Ὀρφεὺς μέγιστος ποιητὴς ἦν καὶ ________ ταῖς Μούσαις.
2. Τὰ δένδρα καὶ οἱ λίθοι πρὸς τὸν ποιητὴν ________.
3. Ἡ Εὐρυδίκη ὑπὸ ὄφεως ________.
4. Ὁ Ὀρφεὺς μάλιστα ἔκλαιε καὶ ________ τὴν γυναῖκα.
5. Ὁ Ὀρφεὺς ἔφη· «________ μοι τὴν γυναῖκα.»
6. Πρῶτον ὁ βασιλεὺς οὐκ ἤθελε τῷ Ὀρφεῖ ________.
7. Ὁ Ὀρφεὺς ἀναστραφεῖς πρὸς τὴν γυναῖκα ________.
8. Ἡ Εὐρυδίκη πάλιν εἰς τὸν Ἅδην ________.
9. Αἱ γυναῖκες τῆς χώρας τὸν ποιητὴν ________ καὶ ἀπέκτειναν.

ἀγανακτῶ
ἀποθνήσκω
καταβαίνω
βλέπω
δίδωμι
ὀδύρομαι
πείθομαι
φίλος
χορεύω

Ἄσκησις β'

1. Ὁ δὲ ποιητὴς τὴν Εὐρυδίκην ________. (ἀγαπῶ)
2. Ὁ Ὀρφεὺς καλὰ μέλη περὶ τῆς κόρης ________. (ᾄδω)
3. Ἡ δὲ παρθένος μετ'αὐτοῦ λαλεῖν οὐκ ________. (ἐθέλω)
4. Ὁ Ἀρισταῖος πρὸς τὴν παρθένον ________. (τρέχω)
5. Ἡ Εὐρυδίκη φοβουμένη ταχέως ________. (φεύγω)
6. Ὁ Ὀρφεὺς πολλὰς ἡμέρας οὔτε ἔφαγεν οὔτε ________. (πίνω)
7. Πάντες οἱ νεκροὶ τὰ μέλη ἀκούοντες ________. (σιγῶ <-άω)
8. Ὁ ποιητὴς ἀεὶ τὴν γυναίκα αὐτοῦ ________. (ἐπιθυμῶ)
9. Αἱ γυναῖκες αὐτῷ ________ καὶ ἀπέκτειναν. (ἀγανακτῶ)

Παρατατικός

ἔλυον
ἔλυες
ἔλυε
ἐλύομεν
ἐλύετε
ἔλυον

ἠγάπων	ἠγανάκτουν
ἠγάπας	ἠγανάκτεις
ἠγάπα	ἠγανάκτει
ἠγαπῶμεν	ἠγανακτοῦμεν
ἠγαπᾶτε	ἠγανακτεῖτε
ἠγάπων	ἠγανάκτουν